## ΕΙΡΗΝΗΣ ΥΠΟΘΕΣΙΣ.

Ἤδη τοῦ Πελοποννησιακοῦ πολέμου κεκμηκότας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδών, ἱκανὸς γὰρ διήρκει πολεμούντων αὐτῶν χρόνος, τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις, καταθεμένας μὲν τὴν πρὸς ἀλλήλους φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς προτέρας ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργόν τινα Τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ, εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία πευσόμενος παρ' αὐτοῦ, δι' ἣν αἰτίαν οὕτως ἐκτρέχει τὰ τῶν Ἑλλήνων πράγματα, τοῦτον ποιήσαντα πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντά τινα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσῃ, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι' αὐτοῦ, Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προστέτακται τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. Ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς, ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

### ΑΛΛΩΣ.

Φέρεται ἐν ταῖς διδασκαλίαις, ὅτι καὶ ἑτέραν ἐδίδαξεν ὁμοίως Ἀριστοφάνης Εἰρήνην. ἄδηλον οὖν φησιν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως. ἀλλ' οὖν γε ἐπὶ τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ. καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.

### ΑΛΛΩΣ.

Τρυγαῖος ἄγροικος πρεσβύτης Ἀθήνησιν, ὀχούμενος ἐπὶ τοῦ κανθάρου, ὑπὲρ τῆς Ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ Διὸς οἰκίαν, ἐντυγχάνει τῷ Ἑρμῇ, καὶ ἀκούει ὅτι μετῳκισμένων τῶν θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνώτατα διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν, ἐνοικίσας ὁ πόλεμος εἰς ἄντρον τι τὴν εἰρήνην καὶ καθείρξας λίθοις ἐπεφόρησε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐν θυείᾳ τρίβειν. μέχρι μὲν οὖν τινος ἐπὶ ξυροῦ φασιν ἀκμῆς τὰ τῶν Ἑλλήνων ἐκινδύνευε πράγματα, ἔπειτα μεταπεμπόμενος παρ' Ἀθηναίων τοῦ πολέμου δοίδυκα, καὶ παρὰ Λακεδαιμονίων, κἀκείνων μὲν τὸν Κλέωνα, τῶν δὲ Λακεδαιμονίων ἐν Θρᾴκῃ τὸν Βρασίδαν ἀπολωλέναι φασκόντων, οὓς ὁ ποιητὴς ὡς κυκῶντας τὴν Ἑλλάδα δοίδυξιν εἴκασεν, αὐτὸς μὲν εἰσέρχεται δοίδυκα ποιήσων αὐτοχειρεί. ἐν τούτῳ δὲ μηχαναῖς τῶν περὶ Τρυγαῖον γεωργῶν τὴν εἰρήνην ἀνελκυσάντων, οὐκ ἄνευ τῆς Ἑρμοῦ συνεργείας, τῶν χειροτεχνῶν ὅσοι μὲν ἢ λόφους ἢ ἀσπίδας ἢ ἄλλο τι τῶν κατὰ πόλεμον χρήσιμον κατασκευάζοντες διέζων, κατηφείᾳ συνείχοντο, τῶν ὅπλων ἤδη διὰ τὴν εἰρήνην γενομένων ἀχρείων. ὅσοι δὲ βίον εἶχον ἐκ τῶν εἰρηνικῶς ἀσκουμένων ἐπιτηδευμάτων, οἷον εἰπεῖν δρεπανουργοῖς, καὶ χαλκεῦσι σμινυῶν, καὶ ὅλως γεωργοῖς, Τρυγαίῳ συγχαιρήσαντες παραγίνονται. μεθ' οὗ κρεοσφαγήσαντες ὡς ἐπὶ δεῖπνον καὶ γάμον κωμάζουσιν.

## ΦΛΩΡ. ΧΡΙΣΤΙΑΝΟΥ ΥΠΟΘΕΣΙΣ ΔΙ' ΙΑΜΒΩΝ.

Κλέων Ἀθηναῖός τε καὶ Βρασίδας Λάκων
Κυκῶντε πᾶσαν διὰ χρόνου τὴν Ἑλλάδα
Πόλεμον ἐνῶρσαν. δεινὰ δ' οὖν πεπονθότων
Δήμων, Τρυγαῖος ἀμπελουργὸς Ἀθμονεὺς
Ὤικτειρεν αὐτούς, καὶ λαβὼν τὸν κάνθαρον
Ἱππηδὸν ἐς τοὺς τοῦ Διὸς βαίνει δόμους,
Ζητῶν πρόσωπον κωφὸν Εἰρήνης θεᾶς,
Τὴν πόλεμος ἄντρων ἐν μυχοῖς ἐκρύψατο·
Ἑρμῆ πυλωροῦ δ' ἐντυχὼν ἕλκει θεὰν
Λαοῖς ξυνεργοῖς τῶν ἀγροίκων χρώμενος,
Ἁρμοῖ θανόντων Ἑλλάδος ταρακτόρων
Κλέωνε καὶ Βρασίδα ὑπ' ἀλλήλων φόνῳ
Μόλις δ' Ἀθηναίας τὴν δ' ἄγων κατήλυθε.